6 εἰ ἥμαρτες, τί πράξεις;
εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι;
7 ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ;
※ἢ τί ἐκ χειρός σου λήμψεται;
8 ※ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου,
※καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.
9 ※ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται,
※βοήσονται ἀπὸ βραχίονος πολλῶν.
10 ※καὶ οὐκ εἶπεν Ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με,↙
ὁ κατατάσσων φυλακὰς νυκτερινάς,
11 ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς,
ἀπὸ δὲ πετεινῶν οὐρανοῦ;
12 ※ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ↙
καὶ ἀπὸ ὕβρεως πονηρῶν.
13 ἄτοπα γὰρ οὐ βούλεται ὁ κύριος ἰδεῖν·
αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστιν
14 τῶν συντελούντων τὰ ἄνομα καὶ σώσει με.
κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αἰνέσαι αὐτόν, ὡς ἔστιν.
15 ※καὶ νῦν, ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος, ὀργὴν αὐτοῦ
※καὶ οὐκ ἔγνω παραπτώματι σφόδρα·
16 ※καὶ Ιωβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ,
※ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.↙

36 1 Προσθεὶς δὲ Ελιους ἔτι λέγει
2 Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε·
ἔτι γὰρ ἐν ἐμοί ἐστιν λέξις.
3 ἀναλαβὼν τὴν ἐπιστήμην μου μακρὰν
ἔργοις δέ μου δίκαια ἐρῶ
4 ἐπ' ἀληθείας καὶ οὐκ ἄδικα ῥήματα·
ἀδίκως συνίεις.
5 γίγνωσκε δὲ ὅτι ὁ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον.
※δυνατὸς ἰσχύι καρδίας
6 ※ἀσεβῆ οὐ μὴ ζωοποιήσει
※καὶ κρίμα πτωχῶν δώσει.
7 ※οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ·

$6^2$ πολλα ηνομ.] tr. AV† | δυνασαι] δυναμαι σοι S*† || $7^1$ επει δε ουν] επειδη ουν S$^c$ mu.; και ει AV† = *et si* La || $11^1$ ο > S*† | $11^2$ απο δε] και απο AV†: cf. 3 12 | fin.] + σοφιζη(pro -ζει) ημας V†: item Sy$^{mg}$ ex α', cf. La$^{'xt}$ ※*sapientiorem me fecit* || $12^2$ και > AV La† = 𝔐 || $13^1$ ου βουλ. ο κυρ. / ιδειν BSO†] tr. rel. || $14^1$ και] ος AV† | $14^2$ αινεσαι αυτον] tr. A || $15^2$ παραπτωμα τι Sixt.

36 $2^1$ μεινον με μικρον] μικρ. με μειν. AV† | $2^2$ εν εμοι εστιν] μοι ενεστιν AV† || $5^1$ γι(γ)νωσκε δε] γ(ε)ινωσκω δε (+ εγω A†) AV† || $6^1$ ασεβη B S*O†] -βων rel. || $7^1$ οφθαλμον A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/334 UNIVERSITÄT LEIPZIG